**Lincoln's Gettysburg Address *more Thucydideo***

Ἔτη μὲν ἤδη ἐστὶ μάλιστα πεντήκοντα ἀφ᾽ οὗ ναυμαχήσαντες ἐν Σαλαμῖνι ὑπὲρ πάσης τῆς Ἑλλάδος οἱ ἡμέτεροι πατέρες τῶι τὸν βάρβαρον ἀμῦναι δι᾽ ἀρετὴν σφετέραν ἔσωσαν ἡμῖν τὴν πόλιν, ἣν διαδοχῆι ξυνεχεῖ ἐδεξάμεθα πάλαι χρωμένην ἴσηι καὶ ἐννόμωι πολιτείαι τῶν προγόνων περὶ μεγίστου τὴν ἐλευθερίαν ποιουμένων· νῦν δὲ μαχόμεθα αὐτοὶ πόλεμον καὶ μείζω ἐκείνων, εἴ πως αὕτη ἡ πόλις ἢ ἄλλη τις ὁμοίαι χρωμένη δημοκρατίαι δύναται διὰ μακροῦ περιγίγνεσθαι τοῦ φθόνου τῶν τυράννων. ταύτηι οὖν τῆι ἡμέραι ξυνιστάμεθα ἐπὶ χώρας ὅπου ἐς χεῖρας ἄρτι ἐσῆλθον οἱ μαχεσάμενοι, ἧς μέρος τι καθιερώσοντες ἥκομεν ὅπως σῆμα ποιήσαντες θάψωμεν προσηκόντως τοὺς ἀξιώσαντας ἀποθανεῖν τοῦ τὴν πόλιν περιγίγνεσθαι ἕνεκα· πῶς γὰρ οὐκ ἔστι δίκαιον καὶ πρέπον ταῦτα ποιεῖν; ἀλλ᾽ ἔργωι οὐχ οἷοί τ᾽ ἐσμὲν αὐτοὶ μὲν οὔτε καθιεροῦν οὔτε τεμενίζειν τοῦτον τὸν τόπον· ἤδη γὰρ οἱ τολμήσαντες ἐνθάδε ἀγωνίζεσθαι ζῶντές τε τελευτήσαντές τε καθιέρωσαν μᾶλλον ἢ ὥστε ἡμᾶς ἢ προσθεῖναί τι ἢ ἀφελεῖν. μόλις μὲν οὖν μεμνήσονται οἱ ἔπειτα ὅτι ἂν ἡμεῖς λέγωμεν ἐνταῦθα, οὐδέποτε δέ ἐστι κίνδυνος μὴ ἐξίτηλα γενόμενα λανθάνηι ὁπόσα οὗτοι ἐξηργάσαντο· καὶ μὴν ἡμᾶς γε τοὺς ἔτι ζῶντας χρὴ νοῦν τε προσέχοντας καὶ σῶμα προστιθέντας τὴν μάχην ἀνύτειν ἥνπερ οὗτοι καλῶς κἀγαθῶς ἐπιχειρήσαντες ἐς τοσοῦτον προήγαγον εὐτυχίας. ζηλώσαντες τοίνυν αὐτοὺς ποιῶμεν καὶ αὐτοὶ ταὐτὰ λειπομένων ἔτι καὶ νῦν πόνων οὐ μειόνων· δεδόχθω δὴ ἡμῖν ἐκ τούτων τῶν ἀνδρείως τεθνηκότων μείζω λαμβάνειν

προθυμίαν ἁπάντων ὑπὲρ ὧν καμόντες ἤθελον διδόναι καὶ τοὺς βίους, ἵνα μὴ μάτην τετελευτηκότες ὦσιν ἀλλὰ μᾶλλον διὰ τὸ ἀποθανεῖν, ὥσπερ γυνὴ ἐν λοχεύμασιν, τέκωσι πόλιν χρωμένην ἐλευθερίαι μετ’ ἀνανεωσθείσης ῥώμης, ὥστε μηδέποτε ἀφαιρεθήσεσθαι τοὺς ἀνθρώπους τὴν δημοκρατίαν.